# ΠΡΟΣ ΓΑΛΑΤΑΣ[1]

## [Introduction]

### *[Salutation]*

**1.1** Παυλος, αποστολος—ουκ απ’ ανθρωπων ουδε δι’ ανθρωπου, αλλα δια Ιησου Χριστου και
Θεου Πατρος του εγειραντος αυτον εκ νεκρων—2 και οἱ συν εμοι παντες αδελφοι, ταις
εκκλησιαις της Γαλατιας: 3 Χαρις ὑμιν και ειρηνη απο Θεου Πατρος και Κυριου ἡμων[2]
Ιησου Χριστου, 4 του δοντος ἑαυτον περι[3] των ἁμαρτιων ἡμων ὁπως εξεληται ἡμας εκ του
ενεστωτος αιωνος πονηρου, κατα το θελημα του Θεου και Πατρος ἡμων, 5 ᾧ ἡ δοξα εις
τους αιωνας των αιωνων. Αμην.

### *[Paul is disappointed]*

**6** Θαυμαζω ὁτι οὑτως[4] ταχεως μετατιθεσθε απο του καλεσαντος ὑμας εν χαριτι
Χριστου εις ἑτερον ευαγγελιον 7—ὃ ουκ εστιν αλλο, ει μη τινες εισιν οἱ ταρασσοντες ὑμας
και θελοντες μεταστρεψαι το ευαγγελιον του Χριστου. 8 Αλλα και εαν ἡμεις, ἢ αγγελος εξ
ουρανου, ευαγγελιζηται ὑμιν[5] παρ’ ὃ ευηγγελισαμεθα ὑμιν, αναθεμα εστω! 9 Ὡς
προειρηκαμεν,[6] και αρτι παλιν λεγω: Ει τις ὑμας ευαγγελιζεται[7] παρ’ ὃ παρελαβετε,
αναθεμα εστω!!

10 Αρτι γαρ ανθρωπους πειθω, ἢ τον Θεον? Ἢ ζητω ανθρωποις αρεσκειν? Ει γαρ
ετι ανθρωποις ηρεσκον, Χριστου δουλος ουκ αν ημην.

## [Paul’s credentials]

**1.11** Γνωριζω δε ὑμιν,[8] αδελφοι, το ευαγγελιον το ευαγγελισθεν ὑπ’ εμου ὁτι ουκ εστιν
κατα ανθρωπον· 12 ουδε γαρ εγω παρα ανθρωπου παρελαβον αυτο, ουτε εδιδαχθην, αλλα δι’
αποκαλυψεως[9] Χριστου.

### *[How he was before]*

**13** Ηκουσατε γαρ την εμην αναστροφην ποτε εν τω Ιουδαισμω, ὁτι καθ’ ὑπερβολην
εδιωκον την εκκλησιαν του Θεου και επορθουν αυτην· 14 και προεκοπτον εν τω Ιουδαισμω
ὑπερ πολλους συνηλικιωτας εν τω γενει μου, περισσοτερως ζηλωτης ὑπαρχων των πατρικων
μου παραδοσεων.

### *[Then he was re-cycled]*

**15** Ὁτε δε[10] ευδοκησεν ὁ Θεος—ὁ αφορισας με εκ κοιλιας μητρος μου και καλεσας
δια της χαριτος αυτου—16 αποκαλυψαι τον Υἱον αυτου εν εμοι ἱνα ευαγγελιζωμαι[11] αυτον
εν τοις εθνεσιν,[12] ευθεως ου προσανεθεμην σαρκι και αἱματι, 17 ουδε ανηλθον εις
Ἱεροσολυμα προς τους προ εμου αποστολους· αλλα απηλθον εις Αραβιαν, και παλιν
ὑπεστρεψα εις[13] Δαμασκον.

### *[A new life and ministry]*

**18** Επειτα, μετα ετη τρια, ανηλθον εις Ἱεροσολυμα ἱστορησαι Πετρον,[14] και
επεμεινα προς αυτον ἡμερας δεκαπεντε. 19 (Ἑτερον δε των αποστολων ουκ ειδον, ει μη

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD.
[2] ημων || --- [16%] 328,547,1247
[3] περι || υπερ [45%] 547
[4] ουτως [65%] 141,204,328,444,928,1249,1548,1725,2587
ουτω [34%] 18,35,149,201,386,432,547,604,1248,1503,1637,1855,1892,2466,2723
[5] ευαγγελιζηται υμιν || ευαγγελιζεται 2 (43.7%) 1855 || 1 ημιν 1548
[6] προειρηκαμεν || προειρηκα [8%] 1892
[7] ευαγγελιζεται || ευαγγελιζετε 547
[8] υμιν || ημιν 1249
[9] αποκαλυψεως || 1 ιησου [70%] 547
[10] δε || --- 328
[11] ευαγγελιζωμαι || ευαγγελιζομαι [25%] 1248
[12] ινα . . . . εθνεσιν || --- 328
[13] αραβιαν . . . . εις || --- 1855 [homoioteleuton]
[14] πετρον || πετρου 2466v

Ιακωβον, τον αδελφον του Κυριου. 20 Ἁ δε γραφω ὑμιν, ιδου ενωπιον του Θεου ὁτι ου ψευδομαι.) 21 Επειτα ηλθον εις τα κλιματα της Συριας και της[1] Κιλικιας. 22 Ημην δε αγνοουμενος τω προσωπω ταις εκκλησιαις της Ιουδαιας (ταις[2] εν Χριστω) 23—μονον δε ακουοντες ησαν ὁτι "Ὁ διωκων ἡμας ποτε νυν ευαγγελιζεται την πιστιν ἡν ποτε επορθει."[3] 24 Και εδοξαζον εν εμοι τον Θεον.

*[How he was recognized by the apostolate]*

**2.1** Επειτα δια δεκατεσσαρων ετων παλιν ανεβην εις Ἱεροσολυμα μετα Βαρναβα, συμπαραλαβων και Τιτον. 2 Ανεβην[4] δε κατα αποκαλυψιν και ανεθεμην αυτοις[5] το ευαγγελιον ὃ κηρυσσω εν[6] τοις εθνεσιν.—Κατ' ιδιαν δε τοις δοκουσιν, μη πως εις κενον τρεχω, ἢ εδραμον. 3 Αλλ' ουδε Τιτος, ὁ συν εμοι, Ἑλλην[7] ων, ηναγκασθη[8] περιτμηθηναι· 4 δια δε τους παρεισακτους ψευδαδελφους (οἱτινες παρεισηλθον κατασκοπησαι την ελευθεριαν ἡμων, ἣν εχομεν εν Χριστω Ιησου, ἱνα ἡμας καταδουλωσωνται[9]), 5 οἷς ουδε προς ὡραν[10] ειξαμεν τη ὑποταγη,[11] ἱνα ἡ αληθεια του ευαγγελιου διαμεινη προς ὑμας.—6 Απο δε των δοκουντων ειναι τι (ὁποιοι ποτε ησαν ουδεν μοι διαφερει· προσωπον Θεος ανθρωπου ου λαμβανει)—εμοι γαρ οἱ δοκουντες ουδεν προσανεθεντο, 7 αλλα τουναντιον, ιδοντες ὁτι πεπιστευμαι το ευαγγελιον της ακροβυστιας, καθως Πετρος της περιτομης 8 (ὁ γαρ ενεργησας Πετρω εις αποστολην της περιτομης ενηργησεν και εμοι εις τα εθνη), 9 και γνοντες την χαριν την δοθεισαν μοι, Ιακωβος και Κηφας και Ιωαννης, οἱ δοκουντες στυλοι ειναι, δεξιας εδωκαν εμοι και Βαρναβα κοινωνιας, ἱνα ἡμεις μεν[12] εις τα εθνη, αυτοι δε εις την περιτομην· 10 μονον των πτωχων ἱνα μνημονευωμεν, ὃ και εσπουδασα αυτο τουτο ποιησαι.

*[Paul has to rebuke Peter]*

**11** Ὁτε δε ηλθεν Πετρος εις Αντιοχειαν, κατα προσωπον αυτω[13] αντεστην, ὁτι κατεγνωσμενος ἦν. 12 Προ του γαρ ελθειν τινας απο Ιακωβου, μετα των εθνων συνησθιεν· ὁτε δε ηλθον ὑπεστελλεν και αφωριζεν[14] ἑαυτον, φοβουμενος τους εκ περιτομης. 13 Και συνυπεκριθησαν αυτω και οἱ λοιποι Ιουδαιοι, ὡστε και Βαρναβας συναπηχθη αυτων τη ὑποκρισει. 14 Αλλ' ὁτε ειδον ὁτι ουκ ορθοποδουσιν προς την αληθειαν του ευαγγελιου, ειπον τω Πετρω εμπροσθεν παντων: "Ει συ, Ιουδαιος ὑπαρχων, εθνικως ζης και ουκ[15] Ιουδαικως, τί τα εθνη αναγκαζεις Ιουδαιζειν? 15 Ἡμεις φυσει Ιουδαιοι (και ουκ εξ 'εθνων ἁμαρτωλοι'), 16 ειδοτες ὁτι ου δικαιουται ανθρωπος εξ εργων νομου εαν μη δια πιστεως Ιησου Χριστου, και ἡμεις εις Χριστον Ιησουν[16] επιστευσαμεν, ἱνα δικαιωθωμεν εκ πιστεως Χριστου και ουκ εξ εργων νομου· διοτι ου δικαιωθησεται εξ εργων νομου πασα σαρξ. 17 Ει δε ζητουντες δικαιωθηναι[17] εν Χριστω εὑρεθημεν και αυτοι ἁμαρτωλοι, αρα Χριστος ἁμαρτιας διακονος? Μη γενοιτο!

---

[1] της || --- 547,1251,1725
[2] ταις || της 2466
[3] επορθει || επορθη 1855
[4] ανεβην || ανεβη 201—corrected
[5] αυτοις || 1 εις 2466—corrected
[6] εν || --- 1249
[7] ελλην || --- 386
[8] ηναγκασθη || ηναγκασθην [2%] 328
[9] καταδουλωσωνται || καταδουλουσωνται 1892
[10] προς ὡραν || προσὡραν (one word) 444,928
[11] υποταγη || επιταγη 547
[12] μεν || --- [55%] 35—corrected
[13] αυτω || αυτου 201
[14] αφωριζεν || αφοριζεν [17%] 201
[15] ουκ || --- (5%) 2466
[16] ιησουν || --- 547
[17] δικαιωθηναι || δικαιωσυνην 1249

18 "Εἰ γαρ ἃ κατελυσα ταυτα παλιν οικοδομω, παραβατην εμαυτον συνιστημι.
19 Εγω γαρ δια νομου νομω απεθανον ἱνα Θεω ζησω. 20 Χριστω συνεσταυρωμαι, ζω δε
ουκετι εγω ζη δε εν εμοι Χριστος· ὃ δε νυν ζω εν σαρκι εν πιστει ζω τη του Υἱου του
Θεου, του αγαπησαντος με και παραδοντος ἑαυτον ὑπερ εμου. 21 Ουκ αθετω την χαριν του
Θεου· ει γαρ δια νομου δικαιοσυνη, αρα Χριστος δωρεαν απεθανεν."

### [Law or faith]

**3.1** Ω ανοητοι Γαλαται! Τίς ὑμας εβασκηνεν[1] τη αληθεια μη πειθεσθαι, οἷς κατ' οφθαλμους
Ιησους Χριστος προεγραφη εν ὑμιν[2] εσταυρωμενος? 2 Τουτο μονον θελω μαθειν αφ' ὑμων:
εξ εργων νομου το Πνευμα ελαβετε, ἡ εξ ακοης πιστεως? 3 Οὑτως ανοητοι εστε?
Εναρξαμενοι Πνευματι, νυν σαρκι επιτελεισθε? 4 Τοσαυτα επαθετε εικη—ει γε και εικη?
5 Ὁ ουν επιχορηγων ὑμιν το Πνευμα και ενεργων δυναμεις εν ὑμιν, εξ εργων νομου, ἡ εξ
ακοης πιστεως?—6 καθως Ἀβρααμ επιστευσεν τω Θεω και ελογισθη αυτω εις δικαιοσυνην.

7 Γινωσκετε αρα ὁτι οἱ εκ πιστεως, οὑτοι εισιν υἱοι Ἀβρααμ. 8 Προιδουσα δε ἡ
Γραφη ὁτι εκ πιστεως δικαιοι τα εθνη ὁ Θεος, προευηγγελισατο τω Ἀβρααμ ὁτι
"Ενευλογηθησονται εν σοι παντα τα εθνη." 9 Ὡστε οἱ εκ πιστεως ευλογουνται συν τω
πιστω Ἀβρααμ.

### *[The curse of the law]*

**10** Ὁσοι γαρ εξ εργων νομου εισιν, ὑπο καταραν εισιν· γεγραπται γαρ,
"Επικαταρατος πας ὃς ουκ εμμενει εν πασιν τοις γεγραμμενοις εν τω βιβλιω του νομου, του
ποιησαι αυτα." 11 Ὁτι δε εν νομω ουδεις δικαιουται παρα τω Θεω δηλον, ὁτι "Ὁ δικαιος
εκ πιστεως ζησεται." 12 Ὁ δε νομος ουκ εστιν εκ πιστεως, αλλ' "Ὁ ποιησας αυτα ανθρωπος
ζησεται εν αυτοις."

13 Χριστος ἡμας εξηγορασεν εκ της καταρας του νομου, γενομενος ὑπερ ἡμων
καταρα—γεγραπται γαρ, "Επικαταρατος πας ὁ κρεμαμενος[3] επι ξυλου"—14 ἱνα εις τα εθνη ἡ
ευλογια του Ἀβρααμ γενηται εν Χριστω Ιησου· ἱνα την επαγγελιαν του Πνευματος
λαβωμεν δια της πιστεως.

### *[The covenant with Abraham]*

**15** Αδελφοι: κατα ανθρωπον λεγω· ὁμως ανθρωπου, κεκυρωμενην διαθηκην ουδεις
αθετει ἡ επιδιατασσεται. 16 Τω δε Ἀβρααμ ερρεθησαν[4] αἱ επαγγελιαι, και τω σπερματι
αυτου. Ου λεγει "και τοις σπερμασιν", ὡς επι πολλων, αλλ' ὡς εφ' ἑνος, "και τω σπερματι
σου", ὅς εστιν Χριστος. 17 Τουτο δε λεγω: διαθηκην προκεκυρωμενην ὑπο του Θεου εις
Χριστον ὁ μετα ετη τετρακοσια και τριακοντα γεγονως νομος ουκ ακυροι, εις το
καταργησαι την επαγγελιαν. 18 Ει γαρ εκ νομου ἡ κληρονομια, ουκετι εξ επαγγελιας, τω δε
Ἀβρααμ δι' επαγγελιας κεχαρισται ὁ Θεος.

### *[The law was a guardian]*

**19** Τί ουν ὁ νομος? Των παραβασεων χαριν προσετεθη, αχρις οὗ ελθη το σπερμα
ᾧ[5] επηγγελται· διαταγεις[6] δι' αγγελων εν χειρι μεσιτου. 20 (Ὁ δε μεσιτης ἑνος ουκ εστιν,
ὁ δε Θεος εἱς εστιν.) 21 Ὁ ουν νομος κατα των επαγγελιων του Θεου? Μη γενοιτο! Ει γαρ
εδοθη[7] νομος ὁ δυναμενος ζωοποιησαι, οντως[8] αν εκ νομου ἦν ἡ δικαιοσυνη. 22 Αλλα
συνεκλεισεν ἡ Γραφη τα παντα ὑπο ἁμαρτιαν, ἱνα ἡ επαγγελια εκ πιστεως Ιησου Χριστου
δοθη τοις πιστευουσιν.

---

[1] εβασκηνεν 547^c || εβασκανεν [50%] 547
[2] εν υμιν || --- (9.5%) 1892
[3] κρεμαμενος || κρεμμαμενος 1725
[4] ερρεθησαν || ερρηθησαν [55%] 547
[5] ω || ο [25%] {149,201}1251,1503,1855
[6] διαταγεις || διαταγις [0.5%] 2466
[7] εδοθη || 1 ο 2466
[8] οντως || οντος 328

23 Προ του δε[1] ελθειν την πιστιν, ὑπο νομον εφρουρουμεθα, συγκεκλεισμενοι εις την μελλουσαν πιστιν αποκαλυφθηναι. 24 Ὡστε ὁ[2] νομος παιδαγωγος ἡμων γεγονεν εις Χριστον, ἱνα εκ πιστεως δικαιωθωμεν. 25 Ελθουσης δε της πιστεως, ουκετι ὑπο παιδαγωγον εσμεν.

26 Παντες γαρ υἱοι Θεου εστε δια της πιστεως εν Χριστω Ιησου.[3] 27 Ὁσοι γαρ εις Χριστον εβαπτισθητε Χριστον ενεδυσασθε. 28—ουκ ενι Ιουδαιος ουδε Ἑλλην, ουκ ενι δουλος ουδε ελευθερος, ουκ ενι αρσεν και θηλυ· παντες γαρ ὑμεις εἱς εστε εν Χριστω Ιησου—29 ει δε ὑμεις Χριστου, αρα του Ἀβρααμ σπερμα[4] εστε και κατ' επαγγελιαν κληρονομοι.[5]

*[Sons or slaves]*

**4.1** Λεγω δε, εφ' ὁσον χρονον[6] ὁ κληρονομος νηπιος εστιν, ουδεν διαφερει δουλου, κυριος παντων ων, 2 αλλ' ὑπο επιτροπους εστιν και οικονομους αχρι της προθεσμιας του πατρος. 3 Οὑτως και ἡμεις,[7] ὁτε ημεν νηπιοι, ὑπο τα στοιχεια του κοσμου ημεν δεδουλωμενοι. 4 Ὁτε δε ηλθεν το πληρωμα[8] του χρονου,[9] εξαπεστειλεν ὁ Θεος τον Υἱον αυτου, γενομενον εκ γυναικος, γενομενον ὑπο νομον, 5 ἱνα τους ὑπο νομον εξαγοραση, ἱνα την υἱοθεσιαν απολαβωμεν. 6 Ὁτι δε εστε υἱοι, εξαπεστειλεν ὁ Θεος το Πνευμα του Υἱου αυτου εις τας καρδιας ὑμων κραζον, "Αββα, ὁ Πατηρ". 7 Ὡστε[10] ουκετι εἶ δουλος αλλ'[11] υἱος, ει δε υἱος, και κληρονομος Θεου δια[12] Χριστου.

*[Paul's concern]*

**8** Αλλα τοτε μεν, ουκ ειδοτες Θεον, εδουλευσατε τοις μη φυσει ουσιν θεοις. 9 Νυν δε γνοντες Θεον—μαλλον δε γνωσθεντες ὑπο Θεου—πως επιστρεφετε παλιν επι τα ασθενη και πτωχα στοιχεια, οἷς παλιν ανωθεν δουλευειν θελετε? 10 Ἡμερας παρατηρεισθε και μηνας και καιρους και ενιαυτους. 11 Φοβουμαι ὑμας, μη πως εικη κεκοπιακα εις ὑμας.

12 Γινεσθε[13] ὡς εγω, ὁτι καγω ὡς ὑμεις, αδελφοι, δεομαι ὑμων. Ουδεν με ηδικησατε. 13 Οιδατε δε ὁτι δι' ασθενειαν της σαρκος ευηγγελισαμην[14] ὑμιν το προτερον. 14 Και τον πειρασμον μου[15] τον εν τη σαρκι μου ουκ εξουθενησατε[16] ουδε εξεπτυσατε, αλλ' ὡς αγγελον Θεου εδεξασθε με, ὡς Χριστον Ιησουν. 15 Τίς ουν ἦν ὁ μακαρισμος ὑμων? Μαρτυρω γαρ ὑμιν ὁτι ει δυνατον τους οφθαλμους ὑμων εξορυξαντες αν εδωκατε μοι. 16 Ὡστε εχθρος ὑμων γεγονα αληθευων ὑμιν?

17 Ζηλουσιν ὑμας—ου καλως αλλα[17] εκκλεισαι[18] ὑμας[19] θελουσιν, ἱνα αυτους ζηλουτε. 18 Καλον δε[20] το ζηλουσθαι εν καλω παντοτε, και μη μονον εν τω παρειναι με προς ὑμας.

---

[1] του δε || ~ 21 547,1628 [OC]
[2] ο || 1 μεν 1892
[3] ιησου || --- 328,928,1247,1249
[4] σπερμα || τεκνα 547
[5] κληρονομοι || κληρομοι 1855
[6] χρονον || --- 328
[7] ημεις || υμεις [4%] 1248
[8] πληρωμα || πληρω 1855
[9] χρονου || νομου 2466
[10] ωστε || οστε 1548
[11] αλλ || αλλα [40%] 547
[12] δια || 1 ιησου (15.1%) 1248
[13] γινεσθε || γενεσθε 547
[14] ευηγγελισαμην || ευηγγελησαμην [2%] 1892
[15] μου || --- (11.4%) 328
[16] εξουθενησατε || εξουθενισατε [2%] 328
[17] αλλα || αλλ [18%] 547
[18] εκκλεισαι || εκλεισαι 328
[19] υμας || ημας [3%] 1249
[20] δε || --- [1%] 201

19 Τεκνια μου, οὓς παλιν ωδινω αχρις οὗ μορφωθη Χριστος[1] εν ὑμιν 20—ηθελον δε
παρειναι[2] προς ὑμας αρτι και αλλαξαι την φωνην μου· ὁτι[3] απορουμαι εν ὑμιν.

*['Hagar' VS 'Sarah']*

**21** Λεγετε μοι, οἱ ὑπο νομον θελοντες ειναι, τον νομον ουκ ακουετε? 22 Γεγραπται
γαρ ὁτι Ἁβρααμ δυο υἱους εσχεν: ἑνα εκ της παιδισκης και ἑνα εκ της ελευθερας. 23 Αλλ'
ὁ μεν εκ της παιδισκης κατα σαρκα γεγεννηται, ὁ δε εκ της ελευθερας δια της επαγγελιας,
24 ἁτινα εστιν αλληγορουμενα. Αὑται γαρ εισιν δυο διαθηκαι: μια μεν απο ορους Σινα, εις
δουλειαν γεννωσα, ἡτις εστιν Αγαρ 25 (το γαρ Αγαρ Σινα ορος εστιν εν τη Αραβια,
συστοιχει δε τη νυν Ἱερουσαλημ, δουλευει δε μετα των τεκνων αυτης)· 26 ἡ δε ανω
Ἱερουσαλημ ελευθερα εστιν, ἡτις εστιν μητηρ παντων ἡμων. 27 Γεγραπται γαρ:
"Ευφρανθητι,[4] στειρα, ἡ ου τικτουσα· ῥηξον και βοησον, ἡ ουκ ωδινουσα· ὁτι πολλα τα
τεκνα της ερημου μαλλον ἢ της εχουσης τον ανδρα." 28 Ἡμεις[5] δε, αδελφοι, κατα Ισαακ,
επαγγελιας τεκνα εσμεν. 29 Αλλ' ὡσπερ τοτε ὁ κατα σαρκα γεννηθεις εδιωκεν τον κατα
Πνευμα, οὑτως και νυν. 30 Αλλα τί λεγει ἡ Γραφη? "Εκβαλε την παιδισκην και τον υἱον
αυτης, ου γαρ μη κληρονομηση ὁ υἱος της παιδισκης μετα του υἱου της ελευθερας!"
31 Αρα, αδελφοι, ουκ εσμεν παιδισκης τεκνα, αλλα της ελευθερας.

[Freedom in Christ]

**5.1** Τη ελευθερια ουν ᾗ[6] Χριστος ἡμας ηλευθερωσεν, στηκετε, και μη παλιν ζυγω δουλειας
ενεχεσθε. 2 Ιδε, εγω, Παυλος, λεγω ὑμιν ὁτι εαν περιτεμνησθε, Χριστος ὑμας ουδεν
ωφελησει.[7] 3 Μαρτυρομαι δε παλιν παντι ανθρωπω περιτεμνομενω ὁτι οφειλετης εστιν
ὁλον τον νομον ποιησαι. 4 Κατηργηθητε απο του Χριστου, οἱτινες εν νομω δικαιουσθε· της
χαριτος εξεπεσετε. 5 Ἡμεις γαρ Πνευματι εκ πιστεως ελπιδα δικαιοσυνης απεκδεχομεθα.
6 Εν γαρ Χριστω Ιησου ουτε περιτομη τι ισχυει ουτε ακροβυστια, αλλα πιστις[8] δι' αγαπης
ενεργουμενη.

7 Ετρεχετε καλως· τίς ὑμας ενεκοψεν τη αληθεια μη πειθεσθαι? 8 Ἡ πεισμονη ουκ
εκ του καλουντος ὑμας. 9 Μικρα ζυμη ὁλον το φυραμα ζυμοι. 10 Εγω πεποιθα εις ὑμας εν
Κυριω, ὁτι ουδεν αλλο φρονησετε· ὁ δε ταρασσων ὑμας βαστασει το κριμα, ὁστις αν ᾖ.

11 Εγω δε, αδελφοι, ει περιτομην ετι κηρυσσω, τί ετι διωκομαι? Αρα κατηργηται
το σκανδαλον του σταυρου. 12 Οφελον και αποκοψονται οἱ αναστατουντες ὑμας!

13 Ὑμεις γαρ επ'[9] ελευθερια εκληθητε, αδελφοι· μονον μη την ελευθεριαν εις
αφορμην τη σαρκι, αλλα δια της αγαπης δουλευετε αλληλοις. 14 Ὁ γαρ πας νομος[10] εν ἑνι
λογω πληρουται, εν τω "αγαπησεις τον πλησιον σου ὡς σεαυτον."[11] 15 Ει δε αλληλους
δακνετε και κατεσθιετε, βλεπετε μη ὑπο αλληλων αναλωθητε.

*[Spirit X flesh]*

**16** Λεγω δε, Πνευματι περιπατειτε και επιθυμιαν σαρκος ου μη τελεσητε. 17 Ἡ γαρ
σαρξ επιθυμει κατα του Πνευματος, το δε Πνευμα κατα της σαρκος· ταυτα δε αντικειται[12]
αλληλοις, ἱνα μη ἃ αν θελητε, ταυτα ποιητε. 18 Ει δε Πνευματι αγεσθε ουκ εστε ὑπο νομον.

19 Φανερα δε εστιν τα εργα της σαρκος, ἁτινα εστιν: μοιχεια, πορνεια, ακαθαρσια,
ασελγεια, 20 ειδωλολατρια,[13] φαρμακεια, εχθραι,[1] ερις,[2] ζηλοι,[3] θυμοι, εριθειαι,

---

[1] μορφωθη χριστος || ~ 21 2466
[2] παρειναι || 1 με 547
[3] οτι || διοτι 547
[4] ευφρανθητι || ευφρανθη 444
[5] ημεις || υμεις [8%] 1548
[6] η || 1 ο (2.3%) 1548
[7] ωφελησει || ωφεληση [4%] 1892
[8] πιστις || πιστει 2466
[9] επ || επι 547
[10] νομος || λογος [18%] 1892
[11] σεαυτον || εαυτον [45%] 432,1548 (2466—corrected)
[12] αντικειται || αντικεινται [28%] 547
[13] ειδωλολατρια || ειδωλολατρεια [27%] 2466—corrected || ειδωλολαστρια 1855v

διχοστασιαι,[4] αἱρεσεις, 21 φθονοι, φονοι, μεθαι, κωμοι, και τα ὁμοια τουτοις· ἃ προλεγω
ὑμιν, καθως και προειπον,[5] ὁτι οἱ τα τοιαυτα πρασσοντες βασιλειαν Θεου ου
κληρονομησουσιν.

22 Ὁ δε καρπος του Πνευματος εστιν αγαπη, χαρα, ειρηνη, μακροθυμια, χρηστοτης,
αγαθωσυνη, πιστις, 23 πραοτης, εγκρατεια—κατα των τοιουτων ουκ εστιν νομος. 24 Οἱ δε
του Χριστου την σαρκα εσταυρωσαν συν τοις παθημασιν και ταις επιθυμιαις.

25 Ει ζωμεν Πνευματι, Πνευματι και στοιχωμεν. 26 Μη γινωμεθα[6] κενοδοξοι,
αλληλους προκαλουμενοι,[7] αλληλοις[8] φθονουντες.

[Practical instructions]

**6**.1 Αδελφοι, εαν και προληφθη ανθρωπος εν τινι παραπτωματι, ὑμεις, οἱ πνευματικοι,
καταρτιζετε τον τοιουτον εν πνευματι πραοτητος, σκοπων[9] σεαυτον μη και συ πειρασθης.
2 Αλληλων τα βαρη βασταζετε, και οὑτως αναπληρωσατε τον νομον του Χριστου. 3 Ει γαρ
δοκει τις ειναι τι, μηδεν ων, ἑαυτον φρεναπατα.[10] 4 Το δε εργον ἑαυτου δοκιμαζετω
ἑκαστος, και τοτε εις ἑαυτον μονον το καυχημα ἑξει, και ουκ εις τον ἑτερον. 5 Ἑκαστος
γαρ το ιδιον φορτιον βαστασει.

6 Κοινωνειτω δε ὁ κατηχουμενος τον λογον τω κατηχουντι εν πασιν αγαθοις. 7 Μη
πλανασθε, Θεος ου μυκτηριζεται· ὃ γαρ εαν σπειρη ανθρωπος, τουτο και θερισει 8—ὁτι ὁ
σπειρων εις την σαρκα ἑαυτου εκ της σαρκος θερισει φθοραν· ὁ δε σπειρων εις το Πνευμα
εκ του Πνευματος θερισει ζωην αιωνιον.

9 Το δε καλον ποιουντες μη εκκακωμεν, καιρω γαρ ιδιω θερισομεν,[11] μη εκλυομενοι.
10 Αρα ουν, ὡς καιρον εχομεν, εργαζωμεθα το αγαθον προς παντας, μαλιστα δε προς τους
οικειους της πιστεως.

*[Boast in the cross]*

11 Ιδετε πηλικοις ὑμιν γραμμασιν εγραψα τη εμη χειρι. 12 Ὁσοι θελουσιν
ευπροσωπησαι εν σαρκι, οὑτοι αναγκαζουσιν ὑμας περιτεμνεσθαι, μονον ἱνα μη τω σταυρω
του Χριστου διωκωνται. 13 Ουδε γαρ οἱ περιτετμημενοι[12] αυτοι νομον φυλασσουσιν, αλλα
θελουσιν ὑμας περιτεμνεσθαι ἱνα εν[13] τη ὑμετερα σαρκι καυχησωνται. 14 Εμοι δε, μη
γενοιτο καυχασθαι ει μη εν τω σταυρω του Κυριου ἡμων Ιησου Χριστου, δι’ οὗ εμοι
κοσμος εσταυρωται, καγω τω κοσμω. 15 Εν γαρ Χριστω Ιησου ουτε περιτομη τι ισχυει[14]
ουτε ακροβυστια, αλλα καινη κτισις. 16 Και ὁσοι τω κανονι τουτω στοιχησουσιν, ειρηνη
επ’ αυτους και ελεος, και επι τον Ισραηλ του Θεου.

17 Του λοιπου, κοπους μοι μηδεις παρεχετω, εγω γαρ τα στιγματα του Κυριου
Ιησου εν τω σωματι μου βασταζω.

*[Sign off]*

18 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα του πνευματος ὑμων, αδελφοι.
Αμην.

---

[1] εχθραι || εχθρα [10%] 328
[2] ερις || ερεις [40%] 547,1247,1548,1855
[3] ζηλοι || ζηλος [1%] 2466
[4] διχοστασιαι || διχοστασειαι 1724c,1892 [F,G]
[5] προειπον || προειπες 1248
[6] γινωμεθα || γενωμεθα [20%] 18,547,1251,1548,1732,1892
[7] προκαλουμενοι || προσκαλουμενοι [25%] 1892c
[8] αλληλοις || αλληλους [40%] 547,1247,1251,1548,1725
[9] σκοπων || σκοπον [2%] 2723
[10] φρεναπατα || φρενατα 201—corrected
[11] θερισομεν || θερισωμεν [29%] 201—corrected
[12] περιτετμημενοι || περιτεμνομενοι [32%] 201,547,1251 || περιτμημενοι 1249
[13] εν || --- 1892
[14] ισχυει || ισχυι 1548